χρις οὗ συνέθλασαν αὐτοῦ τὴν ῥάβδον, καὶ περιέστειλαν τὸ κουκούλιον, ἔχοντες εἰς τοῦτο συνεργὸν τὸν μέγαν διερμηνευτὴν τῆς βασιλείας Νικόλαον Καρατζᾶν καὶ πολλοὺς ἄλλους, τοῦ παναγιωτάτου οἰκουμενικοῦ πατριάρχου σοφωτέρᾳ προνοίᾳ ἀποδοκιμάσαντος τὴν προχείρισιν.

Κατὰ δὲ τὸ αὐτὸ ὀγδοηκοστὸν πρῶτον ἔτος ἀπεστάλη παρὰ τῶν ὀρθοδόξων χριστιανῶν τῶν ἐν ταῖς κλειναῖς Ἑνετίαις γράμματα ἱκετικά, δεομένων καὶ αἰτούντων ἀρχιερέα νόμιμον προστάτην τῆς ἐκεῖ ἐκκλησίας καὶ τοῦ ὀρθοδόξου συστήματος, ἅμα δὲ συνέπραττε τῷ ἐκεῖθεν σταλέντι καὶ ὁ ἐν Κωνσταντινουπόλει εὑρισκόμενος πρέσβυς τῆς γαληνοτάτης ἀριστοκρατείας· οἱ δὲ συνεργοῦντες ἐδείκνυον ἐπ' αὐτῷ δεύτερον πρόσταγμα τῆς ἀριστοκρατείας· ἐντεῦθεν οὖν καὶ αὖθις ἐν τῇ ἐκκλησίᾳ γνῶμαι διάφοροι περὶ τούτου ὑπῆρξαν, τῶν μὲν ὅλως ἀπαρεσκομένων τῇ προβολῇ καὶ προχειρίσει ἀρχιερέως ἐπὶ τοιαύτῃ ἀμφιβόλῳ καὶ ἀσυστάτῳ ἀποφάσει τῶν ἐκεῖ κρατούντων, τῶν δὲ καὶ οἰκονομεῖν τὴν χρείαν τῶν ἐκεῖ ὀρθοδόξων αἱρουμένων· καὶ δὴ διὰ πολλῶν ἐξετάσαντες τέως συνῆλθον εἰς ἕν, καὶ τὸ μὲν τῆς ἀριστοκρατείας δεύτερον πρόσταγμα οὐχ ἧττον τοῦ προτέρου ἐπὶ Φατζέα ὕπουλον καὶ δολερὸν καὶ ἀσύστατον καταγνόντες ἀπεδοκίμασαν, τὴν δὲ τῶν ὀρθοδόξων χριστιανῶν ἁπλῆν δέησιν καὶ δικαίαν αἴτησιν ἀποδεξάμενοι κατὰ τὰ ἀπὸ ἀρχῆς διὰ μακροῦ προσκυρωθέντα ὑπὸ τῆς γαληνοτάτης ἀριστοκρατείας τοῖς ὀρθοδόξοις (τῶν ἀπὸ τοῦ κακόφρονος Τυπάλδου καθεξῆς εἰς βυθὸν λήθης οἰχομένων), συγκατένευσαν ὁμονοήσαντες ἔκδοσιν πατριαρχικὴν ἀποσταλῆναι ἐπὶ μεταθέσει τοῦ Κεφαλληνίας καὶ Ζακύνθου ἀρχιεπισκόπου εἰς τὴν Ἑνετίῃσι προεδρείαν ἐπ' ὀνόματι τοῦ Φιλαδελφείας, ἥνπερ καὶ ἐξαπέστειλαν οὕτως ἔχουσαν.

### Ἔκδοσις πατριαρχική.

Θεοφιλέστατε ἀρχιεπίσκοπε Λευκάδος καὶ ἁγίας Μαύρας